# Δούρις ο Σάμιος, *Ἱστορίαι* (επτά αποσπάσματα)

Α) Από το πρώτο βιβλίο των *Ἱστοριῶν* (Φώτιος, *Βιβλιοθ.* κωδ. 176)

Στο πρώτο αυτό χωρίο ο Φώτιος κατηγορεί τον Δούρη για την απορριπτική του κρίση σε σχέση με τους προγενέστερούς ιστορικούς Έφορο και Θεόπομπο. Εικάζει ότι αυτή η αρνητική στάση του Δούρη σχετίζεται ενδεχομένως με την αλαζονική στάση του Θεόπομπου απέναντι στους προγενέστερούς του ιστορικούς, σε κάθε περίπτωση, ωστόσο, ο Φώτιος ισχυρίζεται ότι ο Δούρις με την απορριπτική του απόφανση αδικεί τόσο τον Έφορο όσο και τον Θεόπομπο.

*Δοῦρις μὲν οὖν ὁ Σάμιος ἐν τῇ πρώτῃ τῶν αὐτοῦ Ἱστοριῶν οὕτω φησίν· «Ἔφορος δὲ καὶ Θεόπομπος τῶν γενομένων πλεῖστον ἀπελείφθησαν· οὔτε γὰρ μιμήσεως μετέλαβον οὐδεμιᾶς οὔτε ἡδονῆς ἐν τῷ φράσαι, αὐτοῦ δὲ τοῦ γράφειν μόνον ἐπεμελήθησαν.» Καίτοι Δοῦρις καὶ τῆς ἐν αὐτοῖς τούτοις οἰκονομίας, οἷς αἰτιᾶται, πολλὰ τῶν ἀνδρῶν λειπόμενος. Ἀλλ᾽ εἰ μὲν πρὸς τὸν ὑπερήφανον ἐκεῖνον Θεοπόμπου λόγον, ὃς τοὺς ἀρχαιοτέρους οὐδὲ τῶν δευτερείων ἠξίου, τοῦτο ἀπέρριψεν, οὐκ ἔχω λέγειν· πλὴν ὅτι οὐδέτερος αὐτῶν προσηκόντως ἐπελάβετο, καὶ μάλιστα διισχυρισαίμην.*

Β) Από το δεύτερο βιβλίο των *Ἱστοριῶν* (Πλούταρχ., *Εὐμέν.* 1)

*Εὐμένη δὲ τὸν Καρδιανὸν ἱστορεῖ Δοῦρις πατρὸς μὲν ἁμαξεύοντος ἐν Χερρονήσῳ διὰ πενίαν γενέσθαι, τραφῆναι δὲ ἐλευθερίως ἐν γράμμασι καὶ περὶ παλαίστραν· ἔτι δὲ παιδὸς ὄντος αὐτοῦ Φίλιππον παρεπιδημοῦντα καὶ σχολὴν ἄγοντα τὰ τῶν Καρδιανῶν θεάσασθαι παγκράτια μειρακίων καὶ παλαίσματα παίδων, ἐν οἷς εὐημερήσαντα τὸν Εὐμένη καὶ φανέντα συνετὸν καὶ ἀνδρεῖον ἀρέσαι τῷ Φιλίππῳ καὶ ἀναληφθῆναι. Δοκοῦσι δὲ εἰκότα λέγειν μᾶλλον οἱ διὰ ξενίαν καὶ φιλίαν πατρῴαν τὸν Εὐμένη λέγοντες ὑπὸ τοῦ Φιλίππου προαχθῆναι.*

Γ) Από το έβδομο βιβλίο των *Ἱστοριῶν* (Αθήναιος IV 167)

12 *Δοῦρις δ᾽ ἐν ἑβδόμῳ Μακεδονικῶν, περὶ Πασικύπρου λέγων τοῦ ἐν Κύπρῳ βασιλέως, ὅτι ἄσωτος ἦν, γράφει καὶ τάδε· «Ἀλέξανδρος μετὰ τὴν Τύρου πολιορκίαν Πνυταγόραν ἀποστέλλων ἄλλας τε δωρεὰς ἔδωκε καὶ χωρίον, ὃ ᾐτήσατο. Πρότερον δὲ τοῦτο Πασίκυπρος ὁ βασιλεύων ἀπέδοτο δι᾽ ἀσωτίαν πεντήκοντα ταλάντων Πυμάτῳ τῷ Κιτιεῖ, ἅμα τὸ χωρίον καὶ τὴν αὐτοῦ βασιλείαν· καὶ λαβὼν τὰ χρήματα, κατεγήρασεν ἐν Ἀμαθοῦντι».*

Δ) Από το έβδομο βιβλίο των *Ἱστοριῶν* (Αθήναιος Χ 45)

13 *Παρὰ δὲ Πέρσαις τῷ βασιλεῖ ἐφίεται μεθύσκεσθαι μιᾷ ἡμέρᾳ, ἐν ᾗ θύουσι τῷ Μίθρῃ. Γράφει δὲ οὕτως περὶ τούτου Δοῦρις ἐν τῇ ἑβδόμῃ τῶν Ἱστοριῶν· «Ἐν μόνῃ τῶν ἑορτῶν τῶν ἀγομένων ὑπὸ Περσῶν τῷ Μίθρῃ βασιλεὺς μεθύσκεται, καὶ τὸ Περσικὸν ὀρχεῖται· τῶν δὲ λοιπῶν οὐδεὶς κατὰ τὴν Ἀσίαν, ἀλλὰ πάντες ἀπέχονται κατὰ τὴν ἡμέραν ταύτην τῆς ὀρχήσεως. Πέρσαι γάρ, ὥσπερ ἱππεύειν, οὕτω καὶ ὀρχεῖσθαι μανθάνουσι· καὶ νομίζουσι τὴν ἐκ τῆς ἐργασίας ταύτης κίνησιν ἐμμελῆ τινα λαμβάνειν γυμνασίαν τῆς τοῦ σώματος ῥώμης.»*

Ε) Από το δέκατο έκτο βιβλίο των *Ἱστοριῶν* (Αθήναιος XII 542)

*Δημήτριος δὲ ὁ Φαληρεύς, ὥς φησι Δοῦρις ἐν τῇ ἑκκαιδεκάτῃ τῶν Ἱστοριῶν, χιλίων καὶ διακοσίων ταλάντων κατ᾽ ἐνιαυτὸν κύριος γενόμενος, καὶ ἀπὸ τούτων βραχέα δαπανῶν εἰς τοὺς στρατιώτας καὶ τὴν τῆς πόλεως διοίκησιν, τὰ λοιπὰ πάντα διὰ τὴν ἔμφυτον ἀκρασίαν ἠφάνιζε, θοίνας τε καθ᾽ ἑκάστην ἡμέραν λαμπρὰς ἐπιτελῶν, καὶ πλῆθός τι συνδείπνων ἔχων· καὶ ταῖς μὲν δαπάναις ταῖς εἰς τὰ δεῖπνα τοὺς Μακεδόνας ὑπερέβαλε, τῇ δὲ καθαριότητι Κυπρίους καὶ Φοίνικας· ῥάσματά τε μύρων ἔπιπτεν ἐπὶ τὴν γῆν, ἀνθινά τε τὰ πολλὰ τῶν ἐδαφῶν ἐν τοῖς ἀνδρῶσι κατεσκευάζετο, διαπεποικιλμένα ὑπὸ δημιουργῶν. Ἦσαν δὲ καὶ πρὸς γυναῖκας ὁμιλίαι σιωπώμεναι, καὶ νεανίσκων ἔρωτες νυκτερινοί, καὶ ὁ τοῖς ἄλλοις τιθέμενος θεσμοὺς Δημήτριος, καὶ τοὺς βίους τάττων, ἀνομοθέτητον ἑαυτῷ τὸν βίον κατεσκεύαζεν. Ἐπεμελεῖτο δὲ καὶ τῆς ὄψεως, τήν τε τρίχα τὴν ἐπὶ τῆς κεφαλῆς ξανθιζόμενος, καὶ παιδέρωτι τὸ πρόσωπον ὑπαλειφόμενος, καὶ τοῖς ἄλλοις ἀλείμμασιν ἐγχρίων ἑαυτόν· ἠβούλετο γὰρ τὴν ὄψιν ἱλαρὸς καὶ τοῖς ἀπαντῶσιν ἡδὺς φαίνεσθαι. Ἐν δὲ τῇ πομπῇ τῶν Διονυσίων, ἣν ἔπεμψεν ἄρχων γενόμενος, ᾖδε χορὸς εἰς αὐτὸν ποιήματα Σειρώμενος τοῦ Σολέως, ἐν οἷς ἡλιόμορφος προσηγορεύετο·*

*Ἐξόχως δ᾽ εὐγενέτας ἡλιόμορφος ζαθέοις*
*ἄρχων σε τιμαῖς γεραίρει.*

ΣΤ) Από το δέκατο έβδομο βιβλίο των *Ἱστοριῶν* (Αθήναιος XII)

*Δοῦρις δ᾽ ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν «Παυσανίας μὲν (φησὶν) ὁ τῶν Σπαρτιατῶν βασιλεύς, καταθέμενος τὸν πάτριον τρίβωνα, τὴν Περσικὴν ἐνεδύετο στολήν. Ὁ δὲ Σικελίας τύραννος Διονύσιος ξυστίδα καὶ χρυσοῦν στέφανον ἐπὶ περόνῃ μετελάμβανε τραγικόν. Ἀλέξανδρος δ᾽, ὡς τῆς Ἀσίας ἐκυρίευσε, Περσικαῖς ἐχρῆτο στολαῖς.*

*Δημήτριος δὲ πάντας ὑπερέβαλλε. Τὴν μὲν γὰρ ὑπόδεσιν, ἣν εἶχε, κατεσκεύαζεν ἐκ πολλοῦ δαπανήματος· ἦν γὰρ κατὰ μὲν τὸ σχῆμα τῆς ἐργασίας σχεδὸν ἐμβάτης, πίλημα λαμβάνων τῆς πολυτελεστάτης πορφύρας· τούτῳ δὲ χρυσοῦ πολλὴν ἐνύφαινον ποικιλίαν ὀπίσω καὶ ἔμπροσθεν ἐνιέντες οἱ τεχνῖται. Αἱ δὲ χλαμύδες αὐτοῦ ἦσαν ὄρφνινον ἔχουσαι τὸ φέγγος τῆς χρόας, τὸ δὲ πᾶν ὁ πόλος ἐνύφαντο, χρυσοῦς ἀστέρας ἔχων καὶ τὰ δώδεκα ζώδια. Μίτρα δὲ χρυσόπαστος ἦν, ᾗ καυσίαν ἁλουργῆ οὖσαν ἔσφιγγεν, ἐπὶ τὸ νῶτον φέρουσα τὰ τελευταῖα καταβλήματα τῶν ὑφασμάτων. Γινομένων δὲ τῶν Δημητρίων Ἀθήνησιν, ἐγράφετο ἐπὶ τοῦ προσκηνίου ἐπὶ τῆς οἰκουμένης ὀχούμενος.»*

Ζ) Απόσπασμα από τον πάπυρο της Οξυρύγχου P.Oxy. XXIV 2399 (σσ. 99–106, πίνακας 24).

1η στήλη

*[- - -]*
*[. . . . . . . . ] . . . α̣*
*[πρῶτον] μ̣ὲν κατε-*
*[λάβο]ν̣τ̣ο̣ τὸν λόφον*
*[τὸν ἀ]ντικείμενον*
*[τῶι Λ]ευκῶι Τύνητι*
*[καὶ τ]οῦτον ὀχυρω-*
*[σάμε]νοι πολλὰ πρά-*
*[γματα] παρείχοντο*
*[τοῖς πε]ρὶ τὸν Ἀγαθο-*
*[κλέα], τῶν θ’ ὁδῶν*
*[τῶν ἐπὶ] Νέαν Πόλιν*
*[καὶ τῶ]ν π̣ρὸ̣ς̣ ἕω τό-*
*[πων] εἴργ̣ο̣ν̣τες καὶ*
*[πᾶσα]ν̣ τὴ[ν] πλησίον*
*[χώραν] προνομεύον-*
*[τες· ἔπ]ε̣ιτ’ ἄλληι δυ-*
*[νάμει] στρατεύσαν-*
*[τες ἐ]π̣ὶ τοὺς ἄνω*
*[Λίβυα]ς̣ ἀφίστασαν*
*[καὶ το]ύ̣τους ἀ̣π̣ὸ τῶν*
*[Ἑλλήν]ων καὶ πάλιν*
*[πρὸς τὴ]ν αὐτῶν συμ-*
*[μαχίαν] συνῆγον. τοῦ*
*[δὲ πολέ]μου περι . . [ . ]*
*[- - - ἐ]νεστῶτος . [- - -]*

2η στήλη

*[- - -]*
*[. . . . ] . υ̣σ̣[. . . . . . . ] ο̣ἱ̣ [δ]ὲ̣*
*Σ̣υρ̣α̣κ̣ό̣σι[ο]ι̣ [τὸ] πλ̣ῆ̣θ̣ο̣ς̣*
*οὐκ ἀξιόμαχ̣[ο]ν̣ ἔ̣χον-*

*τες αὐτὴν [τ]ὴν πό-*
*λιν ἐτήρουν. τοιαύ-*
*της δὲ τῆς καταστάσε-*
*ως οὔσης Δι[ό]γνη̣τ̣ο̣ς*
*ὁ Φαλαίνιος ἐπικαλο̣ύ̣-*
*μενος διεφθαρμένος*
*ὑπ᾽ Ἀμίλκου καὶ τ̣ῶν*
*φυγάδων καὶ πα-*
*ρεσκευασμένος ἂν*
*δύνηται μεταστῆ-*
*σαι τὴν πόλιν ἐκκλη-*
*σιαζόντων τῶν Συ-*
*ρακοσίων ὑπὲρ τοῦ*
*πολέμου τοῦ παρε-*
*στῶτος ἐξαίφνης*
*ἀναστὰς καὶ πρ̣ο̣ανα-*
*κρουσάμενος ἐπὶ*
*τοῦ βήματος ὅ̣τι βού-*
*λεται περὶ τῶν συμ-*
*φερόντων διαλεχθῆ-*
*ναι τῶι δήμωι κα̣ὶ*
*[τῶ]ν ἀν̣θρώπ̣[ων τῶν] πε-*
*- - - - - - - - - - - - - - - - - -*

# Εβδομήκοντα, *Ψαλμοί τοῦ Δαυίδ*

## *Ο πεντηκοστός Ψαλμός*

Αμφιλόχιος Παπαθωμάς

Ο πεντηκοστός Ψαλμός του Δαυίδ είναι ένας από τους ομορφότερους Ψαλμούς της Παλαιάς Διαθήκης που αποδίδονται στον βασιλιά των Εβραίων Δαυίδ και έχει ως αντικείμενο την μετάνοια.

*Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυιδ 2 ἐν τῷ*
*ἐλθεῖν πρὸς αὐτὸν Ναθαν τὸν προφήτην,*
*ἡνίκα εἰσῆλθεν πρὸς Βηρσαβεε*

3 *Ἐλέησόν με, ὁ θεός, κατὰ τὸ μέγα ἔλεός σου*
*καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου·*
4 *ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου*
*καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.*
5 *ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω,*
*καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός.*
6 *σοὶ μόνῳ ἥμαρτον*
*καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα,*
*ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου*
*καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.*
7 *ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήμφθην,*
*καὶ ἐν ἁμαρτίαις ἐκίσσησέν με ἡ μήτηρ μου.*
8 *ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας,*
*τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.*
9 *ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι·*
*πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.*
10 *ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην·*
*ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα.*
11 *ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου*
*καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.*

12 *καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ θεός,*
*καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.*
13 *μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου*
*καὶ τὸ πνεῦμα τὸ ἅγιόν σου μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.*
14 *ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου*
*καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.*
15 *διδάξω ἀνόμους τὰς ὁδούς σου,*
*καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.*
16 *ῥῦσαί με ἐξ αἱμάτων, ὁ θεὸς ὁ θεὸς τῆς σωτηρίας μου·*
*ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.*
17 *κύριε, τὰ χείλη μου ἀνοίξεις,*
*καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.*
18 *ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν·*
*ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.*
19 *θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον,*
*καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξ-*
*ουθενώσει.*
20 *ἀγάθυνον, κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιων,*
*καὶ οἰκοδομηθήτω τὰ τείχη Ιερουσαλημ·*
21 *τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης,*
*ἀναφορὰν καὶ ὁλοκαυτώματα·*
*τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.*

# Εβδομήκοντα, *Ο ενενηκοστός Ψαλμός του Δαυίδ*

Αμφιλόχιος Παπαθωμάς

Ο ενενηκοστός Ψαλμός του Δαυίδ είναι ένας από τους γνωστότερους και δημοφιλέστερους Ψαλμούς της Παλαιάς Διαθήκης που αποδίδονται στον βασιλιά των Εβραίων Δαυίδ. Η δημοφιλία του προκύπτει, μεταξύ άλλων, από τους πολλούς παπύρους που τον παραδίδουν και από το ότι χρησιμοποιήθηκε ευρύτατα ως φυλακτό, ήδη κατά την αρχαιότητα.

*Αἶνος ᾠδῆς τῷ Δαυιδ.*

*Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου*
*ἐν σκέπῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.*
2 *ἐρεῖ τῷ κυρίῳ Ἀντιλήμπτωρ μου εἶ καὶ καταφυγή μου,*
*ὁ θεός μου, ἐλπιῶ ἐπ᾽ αὐτόν,*
3 *ὅτι αὐτὸς ῥύσεταί με ἐκ παγίδος θηρευτῶν*
*καὶ ἀπὸ λόγου ταραχώδους.*
4 *ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι,*
*καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς·*
*ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.*
5 *οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ,*
*ἀπὸ βέλους πετομένου ἡμέρας,*
6 *ἀπὸ πράγματος διαπορευομένου ἐν σκότει,*
*ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.*
7 *πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς*
*καὶ μυριὰς ἐκ δεξιῶν σου,*
*πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ·*
8 *πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις*
*καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψῃ.*
9 *ὅτι σύ, κύριε, ἡ ἐλπίς μου·*
*τὸν ὕψιστον ἔθου καταφυγήν σου.*
10 *οὐ προσελεύσεται πρὸς σὲ κακά,*
*καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου,*
11 *ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ*
*τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου·*
12 *ἐπὶ χειρῶν ἀροῦσίν σε,*
*μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου·*
13 *ἐπ᾽ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ*
*καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.*
14 *ὅτι ἐπ᾽ ἐμὲ ἤλπισεν, καὶ ῥύσομαι αὐτόν·*
*σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου.*
15 *ἐπικαλέσεταί με, καὶ εἰσακούσομαι αὐτοῦ,*
*μετ᾽ αὐτοῦ εἰμι ἐν θλίψει*
*καὶ ἐξελοῦμαι καὶ δοξάσω αὐτόν.*
16 *μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν*
*καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.*